**Ομηρος, Οδυσσεια ζ 276—84, 43—7**

«τις δ οδε Ναυσικαα επεται καλος τε μεγας τε
ξεινος; που δε μιν ευρε; ποσις νυ οι εσσεται αυτη.
η τινα που πλαγχθεντα κομισσατο ης απο νηος
ανδρων τηλεδαπων, επει ου τινες εγγυθεν εισιν·
η τις οι ευξαμενη πολυαρητος θεος ηλθεν
ουρανοθεν καταβας, εξει δε μιν ηματα παντα.
βελτερον, ει καυτη περ εποιχομενη ποσιν ευρεν
αλλοθεν· η γαρ τουσδε γ ατιμαζει κατα δημον
Φαιηκας, τοι μιν μνωνται πολεες τε και εσθλοι».

☆

η δ οτε δη ου πατρος αγακλυτα δωμαθ ικανεν,
στησεν αρ εν προθυροισι, κασιγνητοι δε μιν αμφις
ισταντ αθανατοις εναλιγκιοι, οι ρ υπ απηνης
ημιονους ελυον εσθητα τε εσφερον εισω.
αυτη δ ες θαλαμον εον ηιε.

**Ησιοδος, Θεογονια 820—56**

Αυταρ επι Τιτηνας απ ουρανου εξελασεν Ζευς,
οπλοτατον τεκε παιδα Τυφωεα Γαια πελωρη
Ταρταρου εν φιλοτητι δια χρυσεην Αφροδιτην·
ου χειρες μεν εασιν επ ισχυι εργματ εχουσαι,
και ποδες ακαματοι κρατερου θεου· εκ δε οι ωμων
ην εκατον κεφαλαι οφιος, δεινοιο δρακοντος,
γλωσσησι δνοφερησι λελιχμοτες, εκ δε οι οσσων
θεσπεσιης κεφαλησιν υπ οφρυσι πυρ αμαρυσσεν·
πασεων δ εκ κεφαλεων πυρ καιετο δερκομενοιο·
φωναι δ εν πασησιν εσαν δεινης κεφαλησι
παντοιην οπ ιεισαι αθεσφατον· αλλοτε μεν γαρ
φθεγγονθ ως τε θεοισι συνιεμεν, αλλοτε δ αυτε
ταυρου εριβρυχεω μενος ασχετου οσσαν αγαυρου,
αλλοτε δ αυτε λεοντος αναιδεα θυμον εχοντος,
αλλοτε δ αυ σκυλακεσσι εοικοτα, θαυματ ακουσαι,
αλλοτε δ αυ ροιζεσχ υπο δ ηχεεν ουρεα μακρα.
Και νυ κεν επλετο εργον αμηχανον ηματι κεινῳ
και κεν ο γε θνητοισι και αθανατοισι αναξεν,
ει μη αρ οξυ νοησε πατηρ ανδρων τε θεων τε.
Σκληρον δ εβροντησε και οβριμον, αμφι δε γαια
σμερδαλεον κοναβησε και ουρανος ευρυς υπερθεν
ποντος τ Ωκεανου τε ροαι και ταρταρα γαιης.
Ποσσι δ υπ αθανατοισι μεγας πελεμιζετ Ολυμπος
ορνυμενοιο ανακτος· επεστεναχιζε δε γαια.
Καυμα δ υπ αμφοτερων κατεχεν ιοειδεα ποντον,
βροντης τε στεροπης τε πυρος τ απο τοιο πελωρου,
πρηστηρων ανεμων τε κεραυνου τε φλεγεθοντος.
Εζεε δε χθων πασα και ουρανος ηδε θαλασσα·